# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΪΣΙΟΥ ΤΟΥ ΑΓΙΟΡΕΙΤΟΥ

**Ψαλλομένη τῇ 12ῃ τοῦ μηνὸς Ἰουλίου**

**Ποίημα τοῦ Μητροπολίτου Ἐδέσσης Ἰωὴλ**

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Ὅσιε Παΐσιε,
Φαράσων δένδρον πολύκαρπον,
τῶν τοκέων σου καύχημα,
Ἄθωνος τὸ κλέϊσμα,
καὶ τῆς Ἐκκλησίας,
στύλος ἐγκρατείας,
ἐν τοῖς ἐσχάτοις τοῖς καιροῖς,
σημείοις ὄντως τοῖς θαυμασίοις σου,
ἐφάνης ἀξιάγαστε,
διὸ πιστῶν τὰ ἀθροίσματα,
κατὰ χρέος τὸν βίον σου,
εὐφημοῦμεν τοῖς ᾄσμασιν.

Ἔχων πρὸς τὸν Κύριον,
ἐξ ἁπαλῶν τῶν ὀνύχων σου,
ἀκατάβλητον ἔρωτα,
πάτερ ἀνεγίνωσκες,
βίους τῶν ἁγίων,
καὶ ὁσίων πάντων,
καὶ εὐσεβείας ὁδηγούς,
ἐκλέξας τούτους θεοχαρίτωτε,
συνέμπορος στεῤῥότατος,
τῆς ἐγκρατείας γεγένησαι,
καὶ νηστείας Παΐσιε,
τῆς Κονίτσης καλλώπισμα.

Πάτερ ὁσιώτατε,
τοὺς λογισμοὺς ἀπεκήρυξας,
τοῦ δεινοῦ πολεμήτορος,
καὶ ὡς καθαρότατος,
ἐν τῇ σῇ καρδίᾳ,
τοῦ Χριστοῦ ἐδέχθης,
τὴν ἀπαστράπτουσαν μορφήν,
τῆς ἀθεΐας διασκεδάζουσαν,
Παΐσιε νοήματα,
καὶ ὡμολόγεις τοῖς πέρασι,
ἀληθείας τὰ δόγματα,
καὶ τὸν πλοῦτον τῆς πίστεως.

Ὅσιε Παΐσιε,
ἐκ παίδων ἔσχες τὴν ἄνωθεν,
τῆς Τριάδος ἐνέργειαν,
διὸ καὶ τὸ χάρισμα,
εἴληφας νηστείας,
καὶ πρὸς τοὺς ἁγίους,
ἔχων ἀγάπησιν σφοδράν,
τὰ νηπιώδη πάντα ἀπέῤῥιψας,
κινῶν πρὸς θάμβος ἅπαντας,
τοὺς συγγενεῖς καὶ οἰκείους σου,
προτυπῶν οὕτως ἅγιε,
τὴν πορείαν τοῦ βίου σου.

**Δόξα. Ἦχος β΄.**
Τοὺς ἀκαμάτους ἀγῶνάς σου,
θεοφόρε Παΐσιε,
ὡς λαμπρὰ μιμήματα,
καὶ πρότυπα βίου,
πάντες γινώσκομεν·
κατανικήσας γὰρ τῶν παθῶν,
πάσας τὰς ἐπαναστάσεις,
ἐν τοῖς ἐσχάτοις χρόνοις,
ὡς ἥλιος ἀνίσχες,
ἐν ὄρει τοῦ Ἄθωνος,
καὶ ἐν ἄλλοις τόποις,
διαλάμπων τοῖς θαύμασι,
καὶ διδασκαλίαις·
ὅθεν ταῖς πρεσβείαις σου,

μὴ διαλίπῃς,
τοῦ νοὸς ἡμῶν τὸ σκότος,
τέλεον διασκεδάζων,
ἵνα εὕρωμεν πάντες,
τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Τὸ Θεοτοκίον.**
Τὴν πᾶσαν ἐλπίδα μου...

## Ἀπόστιχα

**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**
Κόνιτσα καὶ Σινᾶ,
καὶ Ἄθωνος τὸ ὄρος,
Παΐσιε καυχῶνται,
ἐπὶ τῇ θείᾳ μνήμῃ,
τῇ σῇ θεομακάριστε.

**Στίχ.** Καυχήσονται ὅσιοι ἐν δόξῃ,
καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Τάφον σου τὸν σεπτόν,
Παΐσιε ἐν πίστει,
τὰ πλήθη προσκυνοῦσιν,
ἐλπίζοντες λαμβάνειν,
τὴν χάριν σου ἀοίδιμε.

**Στίχ.** Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν,
ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων.

Πρέσβυν πρὸς τὸν Χριστόν,
γινώσκουσι παμμάκαρ,
Παΐσιε οἱ πάντες,
διὸ καὶ αἰτημάτων,
λαμβάνουσι τὰ πρόσφορα.

**Δόξα. Τριαδικόν.**
Ἔχων ἐν τῇ ψυχῇ,
Παΐσιε τὸ φάος,
Τριάδος τῆς ἁγίας,
λαμπρύνεις τοὺς τιμῶντας,
τὴν κλῆσίν σου πανόλβιε.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα Μαριάμ,
μὴ παύσῃ πρὸς Υἱόν σου,
πρεσβεύουσα ἀπαύστως,
ὑπὲρ τῶν ἀνυμνούντων,
τὸν τόκον σου Θεόνυμφε.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.

## Ἐν Τῷ Μεγάλῳ Ἑσπερινῷ

**Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος α΄. Πανεύφημοι μάρτυρες.**
Ἐκ παίδων ἠγάπησας σφοδρῶς,
μοναστῶν πολίτευμα,
καὶ βιοτὴν τὴν μονότροπον,
σεμνὲ Παΐσιε,
διὸ καὶ παρεῖδες,
κοσμικῶν τὰ θέλγητρα,
καὶ πάντα τὰ ἡδέα καὶ ῥέοντα,
τὸν νοῦν σου ὅσιε,
προσηλώσας πρὸς τὰ μένοντα,
παραδείσου,
ὡς ἔνσαρκος ἄγγελος.

Ὡς μέλος στρατείας κοσμικῆς,
σεαυτὸν Παΐσιε,
ὑπογραμμὸν τοῖς συνοῦσί σοι,
θεόφρον ἔδωκας,
καὶ μετὰ συνήφθης,
μοναστῶν συντάγμασι,
ἀλείπτης γεγονώς,
πρὸς εὐσέβειαν,
πολλῶν τοῖς ῥήμασι,
τοῖς σημείοις καὶ τοῖς θαύμασι,
οἷς ἐτέλεις,
Χριστοῦ θείᾳ χάριτι.

Ἀνῆλθες ἐν ὄρει τοῦ Σινᾶ,
καὶ ὁσίως ἔζησας,
τὸν Μωϋσῆν ἐκμιμούμενος,
καὶ τὸν συγγράψαντα,
Κλίμακα τὴν θείαν,
ἔνδοξε Παΐσιε,
βιώσας ἐν νηστείαις ὡς ἄσαρκος,
διὸ καὶ εἴληφας,
Παρακλήτου τὰ χαρίσματα,
ὡς οἱ πάλαι,
Πατέρες καὶ ἅγιοι.

Μονῆς τοῦ Στομίου ἀδελφός,
ἐν Κονίτσῃ γέγονας,
καὶ Ἐσφιγμένου ὁ δόκιμος,
ὁ εὐπειθέστατος,
καὶ τὴν Φιλοθέου,
ὅσιε ἐκλέϊσας,
καὶ εἶτα ἐν Σινᾷ ὥσπερ ἄγγελος,
ἀνὴρ κατῴκησας,
προμηθεύων ἱερώτατε,
Βεδουΐνοις,
τοῦ βίου τὰ πρόσφορα.

Ἐστήριξας πάτερ διδαχαῖς,
καὶ ποικίλοις θαύμασι,
ἐν Σουρωτῇ τὸ κοινόβιον,
φανεὶς Παΐσιε,
εὐσεβῶν γυναίων,
ὄντως θεοφώτιστος,
ἀλείπτης ὁδηγὸς καὶ διδάσκαλος,
διὸ τὸν τάφον σου,
ἡ μονὴ διακατέχουσα,
ὥσπερ ὄλβον,
ἀγάλλεται ὅσιε.

Νεότητος ὤφθης φροντιστής,
ἀσκητὰ Παΐσιε,
τῶν ἀσθενῶν ἡ βοήθεια,
καὶ ἀπεξάρτησις,
νέων ἐθισμένων,
ταῖς οὐσίαις ἅγιε,
φυτῶν ναρκωτικῶν τοῦ ἀλάστορος,
ἀθέων ἴασις,
μαθητῶν ἡ ἐπιστήριξις,
καὶ ἁπάντων,
οἰκεῖος καὶ γνώριμος.

**Δόξα Πατρί.** **Ἦχος πλ. β΄.**
Τῶν ἀσκητῶν ὁδεύσας τὴν τρίβον,
εὔδρομος γέγονας,
πρὸς ἀρετῶν ἐργασίαν,
θεοφόρε Παΐσιε,
τὸν χοϊκὸν γὰρ ἄνθρωπον,
ἀπὸ καρδίας ἀποκηρύξας,
ὁ νοῦς σου ἐσχόλαζε,
τῇ ἀδιαλείπτῳ προσευχῇ,
καὶ θεωρίᾳ φωτὸς τοῦ ἀκτίστου·
διὸ καὶ γευσάμενοι,
τῶν χαρισμάτων σου τὰ δῶρα,
ὑμνοῦμέν σε ὅσιε,
ἐν εὐφροσύνῃ λέγοντες,
τὸ χαίροις τῶν Φαράσων ἔκγονε,
Ἄθωνος τὸ κλέος,
τῆς Κονίτσης στύλος,
Μοναστῶν ὁ διδάσκαλος,
καὶ Σινᾶ ὁ οἰκήτωρ,
χαίροις ὁ περιβληθείς,
στολὴν τῆς ἀπαθείας,
καὶ οὕτω γενόμενος,
νεότητος ὁδηγός,
πεπτωκότων ἀνόρθωσις,
καὶ ἐπιστροφὴ πλανωμένων.
Χαίροις τῶν μοναζόντων ὑπόδειγμα,
τῶν κοσμικῶν ὁ τύπος,
καὶ ὀρθοδόξων πιστῶν,
ἀναψυχὴ καὶ δρόσος.
Καὶ νῦν θεοστόλιστε Γέρον,
ἀπαύστως δυσώπει Χριστὸν τὸν Θεόν,
ὑπὲρ ἡμῶν ἐν κατανύξει τελούντων,
τῆς ἱερᾶς σου μνήμης τὴν ἐπέτειον.

**Καὶ νῦν.** **Θεοτοκίον.**
Τίς μὴ μακαρίσει σε,
Παναγία Παρθένε,
τίς μὴ ἀνυμνήσει σου,
τὸν ἀλόχευτον τόκον;
Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός,

ἐκλάμψας Υἱὸς μονογενής,
ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν,
ἀφράστως σαρκωθείς,
φύσει Θεὸς ὑπάρχων,
καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς,
οὐκ εἰς δυάδα προσώπων τεμνόμενος,
ἀλλ' ἐν δυάδι φύσεων,
ἀσυγχύτως γνωριζόμενος.
Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος, Φῶς ἱλαρόν,**
**τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.**

**Παροιμιῶν τὸ Ἀνάγνωσμα**
**(κεφ. 10,7)**

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς οἶδε σύνεσιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα**

**(Κεφ. 4,7)**

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολλιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα**

**(Κεφ. 3,1)**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Εἰς τὴν Λιτήν, Ἰδιόμελα.**

**Ἦχος α΄.**

Εὐφραίνου ἐν Κυρίῳ,<br>
τοῦ Ἄθωνος πολιτεία,<br>
μοναστῶν καὶ μιγάδων,<br>
ὅτι ἐν τοῖς ἐσχάτοις χρόνοις,<br>
ὡς ἄνθος ἠρινόν,<br>
ἐκ τοῦ λειμῶνός σου,<br>
ὁ ὅσιος Παΐσιος ἐξήνθησεν.<br>
Οὗτος γὰρ ὁ πανθαύμαστος,<br>
τῶν δακρύων τοῖς χεύμασι,<br>
ὡς καλὸς γηπόνος,<br>
τὴν ψυχὴν αὐτοῦ γεωργήσας,<br>
τῶν ἀρετῶν τὸ δένδρον,

ἐφυτοκόμησε,
καρποὺς ἐξενέγκας,
τῆς ἀπαθείας καὶ προοράσεως,
καὶ θεραπείας τῶν παθῶν,
καὶ ἰάσεως ἀσθενειῶν,
ψυχῆς τε καὶ σώματος.
Διὸ τανῦν,
πρὸς αὐτὸν ἱκετικῶς προστρέχομεν,
καὶ βοῶμεν ἐν πίστει·
πρέσβευε τῷ ἐλεήμονι Θεῷ,
ὑπὲρ ἡμῶν τῶν ἀνυμνούντων,
τὴν βιοτήν σου ἅγιε,
καὶ τὰ πολλά σου χαρίσματα.

**Ἦχος β΄.**

Τῷ ἰδίῳ θνῄσκων θελήματι,
ὡς ἄλλος Παῦλος,
τῶν παθῶν ἠλευθερώθης,
καὶ ἐνεδύθης στολήν,
τὴν φωτοειδῆ Παρακλήτου,
διὸ καὶ ἠξιώθης ὡς βλέπων,
ὁρᾶν τῶν ἀνθρώπων τὰς ἐννοίας,
προγινώσκων τὰ μέλλοντα,
καὶ προλαλῶν τὰ πρόσφορα,
τοῖς προσιοῦσί σοι,
πάτερ Παΐσιε·
ὅθεν καὶ ἡμεῖς,
πρὸς σὲ τὰς χεῖρας τείνοντες,
ὡς ἔχων παῤῥησίαν,
ἐξαιτοῦμεν τὰς λιτάς σου,
ὅπως διέλθωμεν,
τοῦ βίου τὸ πέλαγος,
καὶ ἐν λιμένι φθάσωμεν,
τῆς Οὐρανῶν Βασιλείας.

**Ἦχος γ΄.**

Ὅσιε πάτερ,
καθ' ἑκάστην ἡμέραν,
πληθὺς ἀνθρώπων,
ὡς εἰς κιβωτὸν σωτηρίας,
ἐκύκλου τὴν καλύβην σου,

εἷς τὴν σωτηρίαν τῆς ψυχῆς ἐκζητούμενος,
ἕτερος τὴν ἰατρείαν τῶν ἀῤῥωστημάτων,
ἄλλος τῶν λογισμῶν τὴν διευθέτησιν,
ἢ τῶν ἐπισυμβάντων ἐν τῷ βίῳ τὴν λύσιν,
διὸ καὶ νυνὶ τῷ τάφῳ σου,
ὁμοίως οἱ πιστοὶ προσερχόμενοι,
τὰ αὐτὰ αἰτοῦνται,
Γέρον Παΐσιε,
διόπερ εὐχόμεθα τούτων,
τυχεῖν αὐτούς,
ἀειμακάριστε.

**Ἦχος δ΄.**
Τὴν ἁλμυρὰν τῶν παθῶν ὑπερβὰς θάλασσαν,
καὶ τῶν πνευμάτων τῆς πονηρίας,
τὴν ὀφρὺν ἐδαφίσας,
ἐγεγόνεις δοχεῖον,
τοῦ Παρακλήτου Πνεύματος,
ὁσιώτατε Παΐσιε.
Σὺ γὰρ τὸ ἔσοπτρον τοῦ νοός σου καθάρας,
ἑώρακας τὸν θεάνθρωπον Κύριον,
τὴν Πάναγνον Αὐτοῦ Μητέρα,
Λουκιλιανὸν καὶ Εὐφημίαν,
τοὺς ἐνδόξους μάρτυρας,
καὶ τὰ πρόσωπα ἄλλων ἁγίων,
μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα Πατρί. Ἦχος δ΄.**
Τὸν μιμητὴν τοῦ Χριστοῦ,
Παΐσιον τὸν ὅσιον,
τὸν ἐν ἁγίῳ ὄρει βιώσαντα,
ἐγκωμίοις λόγοις ἐπαινέσωμεν,
ταῖς ῥοαῖς γὰρ δακρύων,
τῶν παθῶν τὴν πυράκτωσιν ἔσβεσε,
λαμπρύνων τὴν ψυχήν,
καὶ καθαίρων τὴν διάνοιαν,
ἀναδειχθεὶς χρυσοειδέστατον,
καὶ λαμπρότατον σκεῦος τῆς χάριτος,
καὶ νῦν τῷ δήμῳ τῶν ἀσκητῶν συναφθείς,
διηνεκῶς πρεσβεύει,

ὑπὲρ τῶν ἐπικαλουμένων,
τὸ τίμιον αὐτοῦ ὄνομα.

**Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.**
Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου,
φύλαττε εὐλογημένη Θεοτόκε,
ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὸν στίχον. Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**
Χαίροις ὁ τῶν Φαράσων βλαστός,
Ἁγίου Ὄρους ποταμὸς ὁ ἀείρροος,
ὁ φοῖνιξ τῆς εὐσεβείας,
τῆς Σουρωτῆς ὁ τροφός,
τῶν ἐνασκουμένων τὸ ὑπόδειγμα,
Σινᾶ τὸ καλλώπισμα,
καὶ Κονίτσης ὁ κάτοικος,
πάσης Ἑλλάδος,
ὁ ὑπέρλαμπρος ἥλιος,
ὁ νεότητος,
φροντιστὴς καὶ ἐπίκουρος,
ἄνθρωπος ἐπουράνιος,
καὶ ἔνσαρκος ἄγγελος,
ὁ ἰατρὸς τῶν νοσούντων,
καὶ ἀλγουμένων ἀνάπαυσις,
Παΐσιε πάτερ,
Ἐκκλησίας νέον ἄστρον,
τὸ πολυθαύμαστον.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

Χαίροις ὁ ἐν ἐσχάτοις καιροῖς,
φανεὶς τοῖς πᾶσι,
βοηθὸς ἑτοιμότατος,

τῶν παίδων Ἀθωνιάδος,
ὑπογραμμὸς βιοτῆς,
καὶ τῆς εὐσεβείας κῆρυξ ἄριστος,
πασχόντων τὸ κούφισμα,
ἀτακτούντων διόρθωσις,
τῶν ἐν ἀνάγκαις,
ταχινὴ ὑποστήριξις,
τῶν ἐν θλίψεσι,
χαρμονὴ ἀναφαίρετος,
πλάτος εὐρυχωρότατον,
πιστῶν θεοπρόβλητε,
τῶν ἐν φοβίαις τελούντων,
καὶ ψυχικαῖς καταστάσεσι,
Παΐσιε πάτερ,
τῶν ὁσίων ἡ προσθήκη,
καὶ ἀκροθίνιον.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

Ἔχων ἐν τοῖς ἐσχάτοις καιροῖς,
τῆς διοράσεως τὸ χάρισμα ὅσιε,
κατέστης τῶν ἱερέων,
καὶ εὐσεβούντων πιστῶς,
ἀσκητῶν καὶ ἄλλων ὁ διδάσκαλος,
ἐλέγχων γὰρ ἄριστα,
τοῦ νοὸς τὰ νοήματα,
τὰ κεκρυμμένα,
τῆς ψυχῆς ἀῤῥωστήματα,
ἐθεράπευες,
θεοφόρε Παΐσιε,
ὅθεν εἰς πᾶσαν ἔδραμε,
τὴν γῆν τὸ σὸν ὄνομα,
καὶ διὰ τοῦτο ᾐτοῦντο,
τὴν σὴν βοήθειαν ἅπαντες,
καὶ τὴν θεραπείαν,
τῶν ψυχῶν καὶ τῶν σωμάτων,
ἀειμακάριστε.

**Δόξα Πατρί. Ἦχος πλ. δ΄.**

Ἀσκητικῶς βιώσας,
καὶ περιγενόμενος,
τῶν ἡδονῶν τοῦ βίου,
σαρκὸς τῶν ὀρέξεων,
καὶ πάσης ἡδυπαθείας,
Γέρον Παΐσιε,
ἐπισκέψεις ἐδέχθης,
πλειστάκις τῆς θείας χάριτος,
σὺ γὰρ ἐν τῷ κελλίῳ σου ὤν,
καθ' ὕπαρ ἑώρακας,
Εὐφημίαν τὴν μεγαλομάρτυρα,
καὶ μετ' αὐτῆς ὡσανεὶ φίλος πρὸς φίλον,
τὰ τῆς ἀθλήσεως αὐτῆς,
σεμνοπρεπῶς διελέγου,
μεθ' ἧς μὴ παύσῃ ὅσιε,
διηνεκῶς πρεσβεύων,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Ὁ αὐτός. Θεοτοκίον.**
Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς,
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**
Τῶν Φαράσων τὸν γόνον,
καὶ τοῦ Ἄθωνος κλέϊσμα,
καὶ τῶν ἀπ᾽ αἰῶνος ὁσίων,
μιμητὴν καὶ ἰσότιμον,
Παΐσιον τιμήσωμεν πιστοί,
τὸ σκεῦος χαρισμάτων τὸ μεστόν,
ὡς συντρέχοντα ταχέως τοὺς εὐσεβεῖς,
τοὺς πίστει ἀνακράζοντας,
δόξα τῷ δεδωκότι σοι ἰσχύν,
δόξα τῷ σὲ στεφανώσαντι,
δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ,
πᾶσιν ἰάματα.

**Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.**

Ὥσπερ ἄγγελος,
φανεὶς ἐν κόσμῳ,
ἐν τοῖς ἔτεσι,
τοῖς τελευταίοις,
χριστομίμητε Παΐσιε ὅσιε,
ἀσκητικῶς γὰρ βιώσας ἐν Ἄθωνι,
ὡς παμφαέστατος ἥλιος ἔλαμψας,
καὶ κατηύγασας,
πιστῶν τὰ πλήθη τῇ χάριτι,
τοῖς ῥήμασι σημείοις καὶ τοῖς θαύμασι.

**Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Παΐσιε γέγονας,
τῶν ἀσκητῶν ἡ κρηπίς,
τοῦ Ἄθωνος κλέϊσμα,
καὶ Σουρωτῆς ὁ τροφός,
Κονίτσης τὸ καύχημα,
σὺ γὰρ ἐπὶ τὰ ἴχνη,
Ἀρσενίου ὁδεύσας,
εἴληφας χαρισμάτων,
τὴν πληθὺν Παρακλήτου,
ἀφθόνως τοῖς σὲ τιμῶσιν,
παρέχων τὰ πρόσφορα.

**Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.**

Τὸν πανεύφημον ἄνδρα,
τοῦ ὄρους Ἄθωνος,
τὸν ἐπ' ἐσχάτων τῶν χρόνων,
καθάπερ φάος λαμπρόν,
τὴν σκοτίαν τῶν πιστῶν διασκεδάσαντα,
καὶ νοσήματα ψυχῶν,
καὶ σαρκὸς ἐπιφοράς,
ἰώμενον ὑπὲρ φύσιν,
τῆς προοράσεως λύχνον,
νέον Παΐσιον τιμήσωμεν.

**Ἀπόλυσις.**

# Εἰς τὸν Ὄρθρον

**Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.**

Τῇ χάριτι Χριστοῦ,
ὡς οἱ πάλαι Πατέρες,
συνέζησας σεμνέ,
τοῖς ἀλόγοις θηρίοις,
καὶ φίλος γενόμενος,
πτερωτῶν καὶ τῶν ὄφεων,
ἐξεπλάγησαν,
οἱ σὲ εἰδότες θεόφρον,
καὶ ἀνύμνησαν,
τὸν Παντοκράτορα Λόγον,
τὸν σὲ θαυμαστώσαντα.

**Θεοτοκίον. Ὅμοιον.**

Εἰκόνα τὴν σεπτήν,
φοβερᾶς Προστασίας,
Παΐσιε Μητρός,
τοῦ Δεσπότου ἐκράτεις,
καὶ ἔβλεψας ὅσιε,
πρὸς τὰ ἄνω καὶ ὤφθη σοι,
ταύτης ἔλλαμψις,
ἡ καταυγάζουσα πάντας,
διὸ πρέσβευε,
διηνεκῶς σὺν Παρθένῳ,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα.**

**Ἦχος γ´. Τὴν ὡραιότητα.**

Τὸν πολυθαύμαστον,
σεμνὸν Παΐσιον,
τὸν καθαιρέσαντα,
ὀφρὺν τοῦ δράκοντος,
καὶ ἡδονὰς τὰς σαρκικάς,
συντρίψαντα τῇ ἀσκήσει,

Ἄθωνος τὸ κλέϊσμα,
καὶ Φαράσων ἐκβλάστημα,
τὸν εὐεργετήσαντα,
πολυτρόπως τοῖς θαύμασι,
τὰ πλήθη τῶν πιστῶν ὀρθοδόξων,
πάντες τιμήσωμεν ἐνθέως.

**Θεοτοκίον. Ὅμοιον.**
Τὴν ἀειπάρθενον,
Κυρίαν Δέσποιναν,
τὴν ὡραΐσασαν,
γένος τὸ βρότειον,
ἔχουσαν ὄντως τὴν μορφήν,
Παΐσιε γλυκυτάτην,
ὅσιε ἑώρακας,
ἐν ζωῇ ἐν τῷ Ἄθωνι,
ὡς καὶ προσεκύνησας,
ταύτην ἄνερ πανόλβιε,
διὸ καὶ σὺν αὐτῇ μὴ ὀκνήσῃ,
πάτερ ὑπὲρ ἡμῶν πρεσβεύων.

**Μετὰ τὸν Πολυέλεον, Κάθισμα.**

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.**
Τῆς νεότητος ὤφθης παιδαγωγός,
καὶ ἀκέστωρ ἀνθρώπων ναρκομανῶν,
τοῖς σχοῦσι δυσίατα,
πορνικὰ ἁμαρτήματα,
ταῖς σαῖς εὐχαῖς ἐφάνης,
θεράπων πανάριστος,
καὶ τῶν ἀναζητούντων,
ὁδὸν τὴν σωτήριον,
πάτερ ἐπεγνώσθης,
ἀκριβὴς ποδηγέτης,
καὶ πάντων Παΐσιε,
βακτηρία γεγένησαι,
ἀσκητὰ θεοφώτιστε,
διὸ ἐν Σουρωτῇ οἱ πιστοί,
τὸν σὸν τάφον,
προσκυνοῦντες χαίρουσι,

καὶ σεμνῶς τὴν σὴν μνήμην,
κατὰ χρέος μέλπουσι.

**Θεοτοκίον. Ὅμοιον.**
Τὴν ἁγίαν μορφήν σου ἑωρακώς,
ὡς ὑπάρχει Παρθένε ἐν τῇ Σιών,
ὁ θεῖος Παΐσιος,
ἐν τῷ ὄρει ἐδίδαξε,
τοῖς εἰκονογράφοις,
ποιεῖν ἐν πιστότητι,
καὶ πολλήν σου χάριν,
ἐκήρυττεν ἅπασιν·
ὅθεν Θεοτόκε,
μὴ ἐλλείπῃς ἀπαύστως,
Χριστὸν ἱκετεύουσα,
ὑπὲρ πάντων τῶν δούλων σου,
τῶν ὑμνούντων τὸν τόκον σου,
καὶ πάντας τοὺς ἁγίους αὐτοῦ,
ἐν οἷς ἔστι,
ἁγνὴ καὶ ὁ ὅσιος,
ὁ τιμώμενος ὕμνοις,
ὑπὸ πάντων τὴν σήμερον.

**Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

**Εὐαγγέλιον τὸ ἐν τῷ Ὄρθρῳ τοῦ ἁγίου Σάββα.**

**Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.**
**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**
Εἰς πᾶσαν τὴν γῆν,
ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου,
ὅσιε Παΐσιε,
σὺ γὰρ ἐν τῷ εἰκοστῷ αἰῶνι,
ἀπὸ τῆς γεννήσεως τοῦ Σωτῆρος,
ὡς ἀστὴρ ἡμερινὸς ἀνίσχες,

καὶ τῶν ὀρθοδόξων τὰ πλήθη ἐφώτισας,
εἰς τὸ εἰδέναι τὸ θέλημα τοῦ Κυρίου·
διὸ καὶ τανῦν ἐν οὐρανοῖς ἀνελθών,
καὶ σχὼν παῤῥησίαν,
μὴ παύσῃ πρεσβεύων,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·**
«Θεοτόκε Παρθένε πάντας σκέπασον. Ἰωήλ»

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.**
Θεοχαρίτωτε ἁγνὴ θεόνυμφε,
ταῖς ἱκεσίαις σου,
πρὸς τὸν σὸν Δεσπότην,
καὶ Υἱόν σου φώτισον,
νοός μου ἐνεργήματα,
ὅπως ὑμνήσω ἀξίως,
τῶν σῶν θαυμάτων τὸ πέλαγος,
καὶ τῶν πρεσβειῶν σου τὰς χάριτας.

Ἐπὶ τὴν σὴν καταφυγὼν βοήθειαν,
ἀειμακάριστε,
τοῦ ἐχθροῦ νικῆσαι,
μιαρὰν παράταξιν,
ἐλπίζω ὁ ταλαίπωρος,
διὸ τείνω τὰς χεῖρας,
ἱκετικῶς τῇ εἰκόνι σου,
καὶ τὴν σὴν αἰτοῦμαι ἀντίληψιν.

Ὁ σὸς Υἱὸς παρθενομῆτορ ἄχραντε,
ὁ ὑπεράγαθος,
ὁ τοῦ κόσμου κτίστης,
καὶ βροτῶν διάσωσμα,
τὴν σὴν πρεσβείαν δέχεται,
καὶ ποιεῖ πάντα ὅσα,
ἐπιθυμεῖς θεονύμφευτε,
ὑπὲρ τῶν πιστῶν ὑμνολόγων σου.

Τῶν πειρασμῶν μου τὴν πλημμύραν Δέσποινα,
στῆσον πρεσβείαις σου,
καὶ πρὸς τὸν λιμένα,
τοῦ Χριστοῦ ὁδήγησον,
νοός μου τὰ νοήματα,
καὶ ψυχῆς μου τὸ ἦθος,
ὅπως διέλθω τὸ πέλαγος,
βίου πολυμόχθου πανάχραντε.

**Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς˙**
«Ὅσιε Παΐσιε, ἀεὶ πρέσβευε ὑπὲρ ἡμῶν. Ἰωήλ»

**Ἦχος πλ. δ΄. Εἱρμὸς ὁ αὐτός.**
Ὁλοκαρδίως τὸν σεμνὸν Παΐσιον,
τὸν πολυθαύμαστον,
ἀνυμνῆσαι θέλω,
καὶ αἰτοῦμαι δύναμιν,
Χριστέ μου παντοδύναμε,
ὅπως μέλψω τὸν βίον,
καὶ πολυάριθμα θαύματα,
τούτου τοῦ ὁσίου σου Κύριε.

Σεμνῶς βιώσας ἐπὶ γῆς ἀοίδιμε,
ὡς ἄλλος ἄγγελος,
σάρκα ὑποτάξας,
καὶ παθῶν τὴν ἔγερσιν,
χαρίτων πάτερ γέγονας,
τοῦ Θεοῦ τὸ δοχεῖον,
τοῖς Ὀρθοδόξοις Παΐσιε,
πᾶσι προσπορίζων τὰ πρόσφορα.

Ἱκετικῶς τὸν παντουργὸν τῆς κτίσεως,
ἐξιλεούμενος,
ὑπὲρ τῶν ἐν θλίψει,
καὶ καμνόντων ἅγιε,
κατέστης ὁ διδάσκαλος,
πρὸς θειότερον βίον,
πολλῶν ἀνθρώπων Παΐσιε,
Ὄρους τοῦ Ἁγίου τὸ καύχημα.

**Θεοτοκίον.**
Ἐν τῷ πελάγει τῶν παθῶν νηχόμενος,
καταποντίζομαι,
Μῆτερ Θεοτόκε,
ὁ πτωχὸς καὶ δείλαιος,
διὸ καὶ ἀνακράζω σοι,
ταῖς λιταῖς σου τὸν σάλον,
τῶν πειρασμῶν μου κατάπαυσον,
Ὄρους τοῦ Ἁγίου ἡ ἔφορος.

**Κανὼν Δεύτερος τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς˙**
«Γέρον Παΐσιε, φύλαττε σοὺς φίλους. Ἰωήλ»

**Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**
Γεώργιον ὤφθης τὸ θαυμαστόν,
τοῦ Ἄθωνος Ὄρους,
ἐκβλαστάνον γλυκεῖς καρπούς,
Παΐσιε πάτερ θεοφόρε,
τῶν ἀσκουμένων τὸ νέον παλλάδιον.

Ἐδίδαξας πάτερ τοὺς σοὺς υἱούς,
φυλάττειν ἐκ βλάβης,
πονηρίας τοὺς λογισμούς,
καὶ ἔχειν ἐν νῷ ἀδιαλείπτως,
τὰ ἀγαθὰ τοῦ Χριστοῦ ἐννοήματα.

Ῥοαῖς τῶν δακρύων σου τὸν Χριστόν,
ἱκέτευες πάτερ,
ὑπὲρ πάντων τῶν ἐνδεῶν,
Παΐσιε τῶν ἐξαιτουμένων,
ἐν τῇ σῇ κέλλῃ,
ποικίλα αἰτήματα.

**Θεοτοκίον.**
Ὁ νέος Παΐσιος Μαριάμ,
τὴν θείαν μορφήν σου,
ὑπὲρ φύσιν τοῖς ὀφθαλμοῖς,
ἑώρακεν ὄντως ἐν τῷ Ἄθῳ,
ἐν τοῖς ἐσχάτοις καιροῖς ἀειπάρθενε.

**Ὠδὴ γ΄. Τῆς Θεοτόκου.**
**Ὁ στερεώσας κατ' ἀρχάς.**
Ὄλβος ὁ ἄσυλος πιστῶν,
ἀγαθοσύνης ὁ πλοῦτος,
καὶ θησαύρισμα ἀγάπης ἐδείχθης,
ἀπειρόγαμε ἁγνή,
τοῦ κόσμου τὸ ἐγκαύχημα,
τῶν γηγενῶν ἡ δόξα,
καὶ τῶν ἀγγέλων τὸ μέλισμα.

Κλῖμαξ ὑπάρχεις νοητή,
ἡ ἀνάγουσα Κόρη,
ἀπὸ γῆς εἰς οὐρανοὺς τοὺς ἀνθρώπους,
καὶ ὑπερέχεις τοῦ παντός,
μερόπων καὶ ἀγγέλων τε,
καὶ τῶν κτισμάτων πάντων,
ὡς ἡ τεκοῦσα τὸν Κύριον.

Ἐκ σοῦ ἀνέτειλεν ἡμῖν,
ὁ ποιητὴς τῶν ἁπάντων,
ὥσπερ ἥλιος φωτίσας τοὺς πάντας,
καὶ τὰ σκότη τοῦ ἐχθροῦ,
ἰσχύϊ διεσκέδασε,
τῇ ἐκ νεκρῶν ἐγέρσει,
ὡς παντοδύναμος Κύριος.

Πῦρ κατακαίει με σφοδρῶς,
τῶν ἡδονῶν Θεοτόκε,
καὶ ταράσσει τὴν ἀθλίαν ψυχήν μου,
διὸ δέομαι θερμῶς,
λιταῖς σου τοῦτο μάρανον,
καὶ τὴν εἰρήνην δός μοι,
τῶν λογισμῶν θεονύμφευτε.

**Κανὼν τοῦ Ὁσίου. Εἱρμὸς ὁ αὐτός.**
Περιφρονεῖς τὸν μιαρόν,
ἀνδροπρεπῶς θεοφόρε,
τειχιζόμενος νοὸς ἀτυφίᾳ,
καὶ εὐχαῖς περιβληθείς,
τὸν θώρακα τῆς χάριτος,

Παΐσιε τροποῦσαι,
τῶν δυσμενῶν τὰ συστήματα.

Ἀδιαλείπτοις προσευχαῖς,
πρὸς τὸν Δεσπότην τῶν πάντων,
καθικέτευες Παΐσιε πάτερ,
λυτρωθῆναι ἐκ δεινῶν,
τοὺς ἐπικαλουμένους σε,
καὶ ποθοῦντας λύσιν,
τῶν θλιβερῶν περιστάσεων.

Ἰσχὺν τὴν ἄνωθεν λαβών,
ψυχὰς τῶν κεκοιμημένων,
βοηθεῖς ταῖς ἱκεσίαις παμμάκαρ,
σὺ γὰρ ἔλεγες πιστοῖς,
ὑπὲρ αὐτῶν προσεύξασθαι,
ὡς ἐχόντων χρείαν,
πλέον τῶν ζώντων Παΐσιε.

**Θεοτοκίον.**
Σωματωθεὶς ὁ πλαστουργός,
ἐκ τῶν ἁγνῶν σου αἱμάτων,
τὸν ἀρχαῖον καταβάλλει βελίαρ,
καὶ χαρίζει τοῖς βροτοῖς,
τὴν ἄνεσιν Πανάμωμε,
τῆς ἁμαρτίας παῦσιν,
καὶ τῶν ψυχῶν ἐλευθέρωσιν.

**Κανὼν Δεύτερος τοῦ Ἁγίου. Οὐρανίας ἁψῖδος.**
Νικητὴς ἀνεδείχθης,
τῇ τοῦ Χριστοῦ χάριτι,
ὅλως ταπεινώσας τὸν ἄνδρα,
τὸν ἐνεργούμενον,
πάτερ Παΐσιε,
καὶ ἐν Θιβὲτ παιδευθέντα,
ὑπὸ τοῦ ἀλάστορος,
μικρὸν Γεώργιον.

Πνευματέμφορε πάτερ,
ὁ τοῦ παντὸς Κύριος,
τὴν ὑπὲρ τὰ κάλλη ἀνθρώπων,
τούτου ἐμφέρειαν,
ἐν ὄρει Ἄθωνος,
σοὶ ἀπεκάλυψε πάλαι,
καὶ ἐπλήσθης χάριτος,
πολλῆς Παΐσιε.

Ἀπορεῖ νοῦς ἀνθρώπων,
πῶς ὑπεδέχθης μακάριε,
ἐν τῷ σῷ κελλίῳ καθ' ὕπαρ,
τὴν πολυΰμνητον,
μεγαλομάρτυρα,
καὶ θαυμαστὴν Εὐφημίαν,
ἅγιε Παΐσιε,
Πατέρων καύχημα.

**Θεοτοκίον.**
Ἰαμάτων σε κρήνην,
καὶ ἰατρὸν ἄριστον,
οἱ κατατρυχόμενοι πάντες,
νόσοις τοῦ σώματος,
Μῆτερ γινώσκομεν,
διὸ αἰτοῦμεν ἐν πίστει,
τὴν σὴν θεονύμφευτε,
θείαν βοήθειαν.

**Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**
Εὐχῆς ἐργαστήριον,
ἡ σὴ ἁγία ψυχή,
Παΐσιε γέγονε,
τῇ συνεχεῖ προσευχῇ,
καὶ θείαις δεήσεσι,
σὺ γὰρ μακροχρονήσας,
ἐν τῇ κέλλῃ σου πάτερ,
ὤφθης καθάπερ στήλη,
φωτεινὴ ἱκετεύων,
Χριστὸν τὸν πάντων κτίστην,
καὶ παντοκράτορα.

**Θεοτοκίον. Ὅμοιον.**
Παρθένε ἀπείρανδρε,
χριστιανῶν ἡ ἐλπίς,
τὸ κῦδος καὶ καύχημα,
τῶν Ὀρθοδόξων πιστῶν,
ἀγγέλων ἀγλάϊσμα,
γέγονας τῷ σῷ τόκῳ,
διὸ ἔσχες μεγίστην,
Δέσποινα παῤῥησίαν,
πρὸ τοῦ θρόνου Υἱοῦ σου,
ἀεὶ συνηγοροῦσα,
ὑπὲρ τῶν τιμώντων σε.

**Ὠδὴ δ΄. Τῆς Θεοτόκου.**
**Σύ μου ἰσχύς.**
Ἀρᾶς δεινῆς,
τῆς πρώτης Εὔας ἡ λύσασα,
τοὺς ἀνθρώπους,
γέγονας τῷ τόκῳ σου,
καὶ θλιβομένοις ἡ χαρμονή,
ἐπεγνώσθης Μῆτερ,
καὶ τῶν στενόντων ἡ ἄνεσις,
ἐδείχθης Θεοτόκε,
διὸ καὶ σοὶ βοῶμεν,
χαῖρε στήριγμα πάντων ἀκλόνητον.

Ῥοαῖς λιτῶν,
τὸν ἀκατάσχετον καύσωνα,
τῆς ψυχῆς μου,
σβέσον παναμώμητε,
καὶ δροσισμὸν καὶ ἀναψυχήν,
τοῦ ἐλέους σου Μῆτερ,
τὸν σὸν ἱκέτην πλημμύρισον,
καὶ δός μοι ἐπὶ πλέον,
τὴν ἰσχὺν Θεοτόκε,
τοῦ ὑμνεῖν ἐπαξίως τὴν χάριν σου.

Θεοπρεπῶς,
ἐν τῇ νηδύϊ σου ᾤκησεν,
ὁ τῶν ὅλων,
Κύριος πανύμνητε,

καὶ ἐνεδύθη ὁ ἀναφής,
φύσιν τῶν ἀνθρώπων,
ἵνα λυτρώσῃ τὸν ἄνθρωπον,
ἐκ τῆς αἰχμαλωσίας,
τοῦ δεινοῦ πτερνοσκόπου,
καὶ χαρίσῃ ἡμῖν μέγα ἔλεος.

Ἐπιποθῶν,
τοῦ σοῦ ἐλέους τὸ πέλαγος,
κλίνω γόνυ,
καὶ ὑψῶ τὰς χεῖράς μου,
τῇ σῇ εἰκόνι τῇ θαυμαστῇ,
καὶ θερμῶς βοῶ σοι,
μὴ μὲ παρίδῃς τὸν ἄθλιον,
ἐλπὶς ἀπηλπισμένων,
θλιβομένων τὸ θάρσος,
καὶ παντὸς ἀλγουμένου ἰάτειρα.

**Κανὼν τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.**
Ἰσχὺν λαβών,
ἐξ οὐρανοῦ καθυπέμεινας,
ἀσθενείας,
τῆς σαρκὸς Παΐσιε,
καὶ ἐγκαρδίως πρὸς τὸν Χριστόν,
ἐφώνεις θεόφρον,
δοξολογίας μελίσματα,
διὸ καὶ ἰατρείας,
τῶν ψυχῶν καὶ σωμάτων,
τὰ χαρίσματα εἴληφας ἅγιε.

Ἐπακριβῶς,
τὴν διδαχὴν ἠκολούθησας,
τῶν Πατέρων,
καὶ καθωμολόγησας,
ἐν Θεσσαλονίκῃ ἀνδροπρεπῶς,
τὸν Χριστὸν παμμάκαρ,
συμμετασχὼν ὥσπερ ἄγγελος,
μετ᾽ ἄλλων μοναζόντων,
εἰς πορείαν θεόφρον,
τοῖς ἀνθρώποις διδοὺς τύπον πίστεως.

Ἄϋλον φῶς,
πολλάκις πάτερ Παΐσιε,
τὴν σὴν ὄψιν,
ὄντως περιέβαλλε,
καὶ ἀνυψώθης ὑπὲρ τὴν γῆν,
ἔχων τὰς σὰς χεῖρας,
ὑψωμένας πρὸς Κύριον,
διό καὶ οἱ ὁρῶντες,
τὴν σὴν μορφὴν ἐν λάμψει,
ἐξεπλήττοντο ὅλως πανεύφημε.

**Θεοτοκίον.**
Ἐν σῇ γαστρί,
ὁ Παντοκράτωρ ἐχώρησε,
Θεοτόκε,
καὶ βροτῶν τὸ φύραμα,
ἀνακαινίσας ἐκ τῆς φθορᾶς,
λύσας τὴν κατάραν,
καὶ καταργήσας τὸν θάνατον,
καὶ τοῦ σκοτεινομόρφου,
ἀντιδίκου βελίαρ,
τὴν ὀφρὺν ἐταπείνωσε τέλεον.

**Δεύτερος Κανὼν τοῦ Ἁγίου. Εἰσακήκοα Κύριε.**
Σωτηρίας σε πρόξενον,
τῶν προσερχομένων ἐν σοὶ Παΐσιε,
ὡμολόγουν τὰ ἀθροίσματα,
ταῖς διδασκαλίαις σου πανόσιε.

Ἰατρὸς ὤφθης ἄριστος,
δύο ἀσθενούντων παιδίων ἅγιε,
τῇ δεήσει τοῦ γεννήτορος,
τούτων ἰατροῦ ἀξιοτίμητε.

Ἐξαισίως Παΐσιε,
ἐν τῇ προσευχῇ σου πολλάκις ἔβλυσας,
τοῦ Χριστοῦ τὸ φῶς καὶ ἔψαλλες,
ὕμνους ἐκ καρδίας καὶ μελίσματα.

**Θεοτοκίον.**
Φωτισμὸν Θεονύμφευτε,
τῇ ἐσκοτισμένῃ ψυχῇ μου δώρησαι,
σὺ γὰρ τέτοκας τὸν Κύριον,
κόσμου καὶ ἀνθρώπων φῶς τὸ ἄδυτον.

**Ὠδὴ ε΄. Τῆς Θεοτόκου.**
**Ἵνα τί με ἀπώσω.**
Ἀόκνως με πειράζει,
πάθεσιν ἀτόποις,
σατᾶν ὁ παγκάκιστος,
ἀλλὰ Θεοτόκε,
ἐπὶ σὲ θαῤῥῶν ὁ ταλαίπωρος,
τούτου τὰ πυρφόρα,
ἐλπίζω βέλη κατακόψαι,
καὶ νικῆσαι αὐτὸν Ἀπειρόγαμε.

Ἐξελοῦ με ταχέως,
πάσης ἀκηδίας,
ψυχῆς μου σῇ χάριτι,
καὶ μὴ διαλίπῃς,
τοῦ ἐγεῖραί με Μῆτερ ἀνύμφευτε,
ἐκ τῶν ἁμαρτάδων,
καὶ ψυχικῶν ἀῤῥωστημάτων,
σὺ γὰρ ἔχεις τὴν ἄμαχον δύναμιν.

Ποταμὸς χαρισμάτων,
καὶ πηγὴ ἰαμάτων,
ῥεῦμα ἰάσεων,
Δέσποινα ὑπάρχεις,
διὸ ἔπαρον δέομαι,
στένωσιν,
τῆς ψυχῆς μου Μῆτερ,
καὶ εἰς τὸ πλάτος τὸν σὸν δοῦλον,
ἀπαθείας ταχὺ καθοδήγησον.

Ἀπορεῖ πᾶσα κτίσις,
πῶς τὸν ἀπερίληπτον Λόγον ἐκύησας,
ἐν τῇ σῇ νηδύϊ,
Θεοτόκε ἁγνὴ ἀειπάρθενε,

καὶ φυλαὶ καὶ γλῶσσαι,
εἰς τοὺς αἰῶνας τῶν αἰώνων,
μακαρίζουσι σὲ ὡς προείρηκας.

**Κανὼν τοῦ Ἁγίου.**
**Εἱρμὸς ὁ αὐτός.**

Ἰσχυρῶς προεώρας,
τῶν προσερχομένων σοι πάτερ Παΐσιε,
βίον καὶ τὰ ἔργα,
καὶ ἑκάστῳ ἐδίδως τὰ πρόσφορα,
πρὸς τὴν σωτηρίαν,
ἐπιδεικνύων θεοφόρε,
ὑπὲρ πάντων φροντίδα καὶ ἔλεος.

Προσηνὴς καὶ ἀκτήμων,
προσευχῆς ἐργάτης ἐπιμελέστατος,
τῆς εἰρήνης φίλος,
ἐραστὴς τῆς ἀγάπης ἀκλόνητος,
τοῦ Θεοῦ οἰκεῖος,
καὶ τῶν ἀνθρώπων παραστάτης,
ἀνεδείχθης θεόφρον Παΐσιε.

Ῥιψιλόγους παμμάκαρ,
πλανηθέντας ὅλως ὑπὸ τῶν αἱρέσεων,
τοῦ δεινοῦ βελίαρ,
ἐνουθέτησας πάτερ Παΐσιε,
ταῖς διδασκαλίαις,
καὶ διδαχαῖς ταῖς ὀρθοδόξοις,
καὶ σημείοις καὶ θαύμασιν ὅσιε.

**Θεοτοκίον.**

Εὔα μὲν ἡ προμήτωρ,
τὴν κατάραν τοῦ γένους πάλαι ἐδέξατο,
σὺ δὲ Θεοτόκε,
τὴν χαρὰν καὶ εἰρήνην τῷ τόκῳ σου,
ἤνεγκας τοῖς πᾶσι,
διὸ προστάτιν τῶν ἀνθρώπων,
οἱ σοὶ δοῦλοι σὲ ἔχομεν Δέσποινα.

**Κανὼν Δεύτερος τοῦ Ἁγίου.**

**Φώτισον ἡμᾶς.**

Ὕψεις σταθηράς,
πρὸς τὸν Κύριον τὰς χεῖράς σου,
ὑπὲρ νέων τῶν πεσόντων ἐν κακοῖς,
καὶ ζητούντων,
τὴν σὴν δύναμιν Παΐσιε.

Λύεις τὰ δεσμά,
ἀναρχίας τῇ ἐντεύξει σου,
πρὸς τὸν Κύριον Παΐσιε σοφέ,
πολλῶν νέων,
προσιόντων τῇ καλύβῃ σου.

Ἄνωθεν ῥοπῇ,
πολλοὺς νέους ὁσιώτατε,
πρὸς τὸν δρόμον τοῦ Χριστοῦ καθοδηγεῖς,
καὶ δεικνύεις,
τὰ τοῦ βίου τούτων ἄριστα.

**Θεοτοκίον.**

Τεῖχος ἀῤῥαγές,
καὶ θεμέλιον τὸ ἄσειστον,
καὶ ἡ σκέπη Θεοτόκε τῶν πιστῶν,
ἐπεγνώσθης τῇ λοχείᾳ σου Πανάχραντε.

**ᾨδὴ στ΄. Τῆς Θεοτόκου.**

**Ἱλάσθητί μοι Σώτηρ.**

Νυκτὶ ἀτόπων παθῶν,
τῶν ἡδονῶν συσχεθέντα με,
ἐν λάκκῳ ὁ ἀμελής,
ἐμπέπτωκα Πάναγνε,
διὸ ταῖς ἀκτῖσί σου,
ἔγειρόν με Μῆτερ,
καὶ τὸν νοῦν μου καταύγασον.

Τῷ ξίφει τῶν σῶν λιτῶν,
ἁμαρτιῶν μου τὸν σύνδεσμον,
διάῤῥηξον παντελῶς,
Παρθένε καὶ σῶσόν με,

καὶ δός μοι μετάνοιαν,
τοῦ εὐθυπορῆσαι,
ἐν τῷ βίῳ μου Πάναγνε.

Ἀνάγαγε Μαριάμ,
ἐκ τοῦ βυθοῦ ἀπογνώσεως,
τὰ πλήθη χριστιανῶν,
τὰ πίστει βοῶντά σοι,
μὴ παύσῃ ἀπείρανδρε,
ὑπὲρ τῶν σῶν δούλων,
δυσωποῦσα τὸν τόκον σου.

Συνέχομαι ὁ πτωχός,
πρὸ τῆς ἡμέρας τῆς κρίσεως,
ἡνίκα τὸ φοβερόν,
βιβλίον ἀνοίγεται,
τῶν πράξεων Δέσποινα,
τῶν ἐμῶν πταισμάτων,
διὰ τοῦτο δός μοι δύναμιν.

**Κανὼν Πρῶτος τοῦ Ἁγίου.**
**Εἱρμὸς ὁ αὐτός.**
Σωφρόνως ἐπὶ τῆς γῆς,
ἐβίωσας ὅσιε,
σωφρόνως καὶ τοῖς πιστοῖς,
τοῖς λόγοις σου ἔθρεψας,
διὸ πάτερ γέγονας,
εὐσεβείας τύπος,
καὶ τοῦ βίου καθαρότητος.

Βλυστάνων ὥσπερ πηγή,
τῆς ἐγκρατείας τὰ νάματα,
ἐπότισας τὴν πληθύν,
τῶν νέων Παΐσιε,
καὶ τούτους ὡδήγησας,
ἐκ τῆς ἀσωτείας,
εἰς τὸν δίαυλον τῆς χάριτος.

Ἐμφρόνως καὶ νουνεχῶς,
ὀρθοδοξίας τὰ δόγματα,
πολλάκις ἐν τῇ ζωῇ,

σαφῶς ὑπεστήριξας,
Παΐσιε ὅσιε,
τοῦ Ἁγίου Ὄρους,
ὁ θεόληπτος διδάσκαλος.

**Θεοτοκίον.**
Ὑψώθης μετὰ θανήν,
εἰς τὰς μονὰς τοῦ Κυρίου σου,
καὶ ἔσχες ὡς ἀμοιβήν,
τῶν πόνων σου χάριτας,
τῶν νόσων ἰάσεων,
καὶ παραμυθίας,
τῶν στενόντων ὁσιώτατε.

**Κανὼν Δεύτερος τοῦ Ἁγίου.**
**Τὴν δέησιν ἐκχεῶ.**
Τὸ σκῆνός σου,
τὸ σεπτὸν Παΐσιε,
ἐν τῇ μάνδρᾳ Σουρωτῆς ὥσπερ ὄλβος,
ἐπαναπαύεται ὄντως θεόφρον,
καὶ τοῖς πιστοῖς προσπορίζει δωρήματα,
ἰάσεις νόσων τῆς ψυχῆς,
καὶ πληγῶν τῆς σαρκὸς τὴν θεράπευσιν.

Ἐμφάνειαν,
τῆς μορφῆς σου ἔσχομεν,
θεοφόρε ἐπ' ἐσχάτων πολλάκις,
σὺ γὰρ ἀκέστωρ σοφὸς ἐπεγνώσθης,
τῶν ἐκ καρκίνου πασχόντων Παΐσιε,
τῶν δαιμονώντων ἰατρός,
καὶ καμνόντων ταχὺ ἐπιστήριγμα.

Σεσάλευται,
τοῦ ἐχθροῦ ἡ ἔπαρσις,
τῇ ἁγίᾳ σου δυνάμει παμμάκαρ,
σὺ γὰρ ὡς ζῶν ἐκ τοῦ τάφου σου ἦλθες,
καὶ δαιμονόπληκτον νέον ἀπήλλαξας,
ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ,
καὶ τῆς τούτου κακίας Παΐσιε.

**Θεοτοκίον.**
Οὐ κέκτημαι,
τῶν δακρύων χάρισμα,
τοῦ θρηνῆσαι ἁμαρτάδων μου πλῆθος,
καὶ κατανύξεως Μῆτερ στεροῦμαι,
καὶ στεναγμοῦ σωστικοῦ τῆς καρδίας μου,
διὸ λιταῖς σου πρὸς Χριστόν,
τὴν δεινὴν ἀκρασίαν μου σύντριψον.

**Κοντάκιον.**
**Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**
Ἁγίου Ὄρους ἀσκητὴν τὸν περιάκουστον,
καὶ Ἐκκλησίας τὸν φωστῆρα τὸν νεόφωτον,
ἐπαινέσωμεν ἐν ὕμνοις ὁλοκαρδίως,
ποδηγῶν γὰρ τοὺς πιστοὺς πρὸς βίον ἄριστον,
ποταμῶν τῶν δωρημάτων τούτους ἔπλησας,
διὸ κράζουσι·
Χαίροις πάτερ Παΐσιε.

**Ὁ Οἶκος.**
Ἄγγελος ὥσπερ ἄλλος,
ἕως ἐσχάτων τῶν χρόνων,
Παΐσιε ἐφάνης ἐν Ἄθῳ,
ὁσίως γὰρ ζήσας ἐν γῇ,
ἀσκητῶν τῶν ἀρχαίων ἰσοστάσιος,
ἐφάνης τοῖς συνοῦσί σοι,
βοῶσί σοι θερμῶς τοιαῦτα·
Χαῖρε Φαράσων ὁ θεῖος γόνος,
χαῖρε τοῦ Ἄθωνος μέγας ὄλβος,
χαῖρε τῆς Κονίτσης τὸ ἔνθεον καύχημα,
χαῖρε Σουρωτῆς κοινοβίου καλλώπισμα,
χαῖρε βρύσις ἡ πολύκρουνος ὑπὲρ φύσιν δωρεῶν,
χαῖρε ῥεῦμα ἀκατάσχετον ἰαμάτων σωστικῶν,
χαῖρε ὅτι κλεΐζεις τὴν Μονὴν Ἐσφιγμένου,
χαῖρε ὅτι οἰκεῖς ἐν τῷ ὄρει Σιναίου,
χαῖρε βροτῶν ἀτύφων ὁ ἔξαρχος,
χαῖρε πολλῶν χαρίτων ὁ κάτοχος,
χαῖρε δεινῶς στενόντων ὁ ῥύστης,
χαῖρε ἀνδρῶν μοναστῶν ὑποφήτης,
χαίροις πάτερ Παΐσιε.

**Συναξάριον.**

Τῇ δωδεκάτῃ τοῦ αὐτοῦ μηνός,
μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν,
Παϊσίου τοῦ νέου τοῦ Ἁγιορείτου,
τελειωθέντος ἐν εἰρήνῃ,
ἐν ἔτει χιλιοστῷ ἐννεακοσιοστῷ ἐνενηκοστῷ τετάρτῳ (1994).

**Στίχοι**

Παΐσιε τοῦ ὄρους Ἄθωνος δένδρον,
πολύκαρπον ὁσιώτατε ἐδείχθης.

Δεκάτῃ τε καὶ δευτέρᾳ Παΐσιος θάνε.

Οὗτος ὁ πανθαύμαστος καὶ πολύφημος τῆς Ἐκκλησίας ὅσιος Παΐσιος (Ἐζνεπίδης) ἐγεννήθη ἐν Φαράσοις τῆς Καππαδοκίας τῇ 25ῃ Ἰουλίου 1924 ὑπὸ χριστιανῶν γονέων λαβὼν κατὰ τὸ βάπτισμα αὐτοῦ τὸ ὄνομα Ἀρσένιος ὑπὸ τοῦ ὁσίου Ἀρσενίου τοῦ Καππαδόκου. Ἐλθὼν μετὰ τῶν γονέων αὐτοῦ ἐν Ἑλλάδι, κατῴκησεν ἐν Κονίτσῃ τῆς Ἠπείρου διακριθεὶς ἀπὸ παιδὸς διὰ τὴν εὐλάβειαν καὶ πίστιν αὐτοῦ πρὸς τὸν Θεόν. Ἀνδρωθεὶς δὲ μετέβη εἰς τὸν Ἄθωνα καὶ ἐγένετο Μοναχὸς λαβὼν ἐν μὲν τῇ ῥασοευχῇ τὸ ὄνομα Ἀβέρκιος, εἶτα δὲ κατὰ τὴν εὐχὴν τοῦ μικροῦ σχήματος τὸ ὄνομα Παΐσιος. Διὰ περισσοτέραν ἄσκησιν μετέβη καὶ εἰς τὸ Σινᾶ. Καταλήξας ἐν τῷ κελλίῳ Παναγούδα ἐν ταῖς Καρυαῖς τοῦ Ἄθωνος, πολλὰ σημεῖα ἐν ζωῇ ἐποίει τοῖς προσερχομένοις αὐτῷ. Ἔτι δὲ διὰ τῆς διδασκαλίας αὐτοῦ μετέφερε πολλοὺς εἰς τὴν ὀρθὴν ὁδόν. Ἐγένετο καὶ πνευματικὸς καθοδηγητὴς τῆς Ἱερᾶς Μονῆς ἁγίου Ἰωάννου τοῦ Θεολόγου ἐν Σουρωτῇ. Ἐν τέλει τοῦ βίου αὐτοῦ ἀσθενήσας βαρέως ἐτελεύτησεν ἐνταφιασθεὶς ἐν τῇ προμνημονευθείσῃ Μονῇ τῇ 12ῃ Ἰουλίου 1994. Πολλὰ σημεῖα ἐποίησε καὶ μετὰ τὴν ὁσίαν αὐτοῦ κοίμησιν.

**Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις,**
**Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

**Ὠδὴ ζ΄. Κανὼν τῆς Θεοτόκου.**
**Θεοῦ συγκατάβασιν.**

Σὺ μόνη γεγένησαι,
ἐν γυναιξὶ Παρθένε Ἀπείρανδρε,
ἡ τεκοῦσα τὸν Κτίστην,
διὸ ὑμνοῦσί σε μῆτερ ἅπασαι,
αἱ γενεαὶ τῶν ἀνθρώπων κραυγάζουσαι,
εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Κρατύνονται Πάναγνε,
ἐν σοὶ τὰ πλήθη πιστῶν τὰ χρώμενα,
τῇ ἁγίᾳ σου κλήσει,
καὶ καταισχύνεται ὁ παγκάκιστος,
ὅταν ἀκούεται πᾶσι σὸν ὄνομα,
τὸ ὄντως Μῆτερ γλυκύ,
Ὑπεραγία ἁγνή.

Ἐπίφανον Δέσποινα,
τοῦ σοῦ προσώπου τὸ φῶς τοῖς δούλοις σου,
σὺ γὰρ Κόρη ἐντός σου,
τὸ φῶς ἐδέχθης Χριστὸν τὸν Κύριον,
τὸ καταυγάζον πιστούς,
τοὺς κραυγάζοντας,
εὐλογητὸς ὁ Θεός,
ὁ τῶν Πατέρων ἡμῶν.

Λιμὴν ὁ γαλήνιος,
τῶν ὀρθοδόξων πιστῶν γεγένησαι,
καὶ ἀσφάλεια μῆτερ,
τῶν ἐν τῷ βίῳ ἀπόρων πέφηνας
τῶν ἐκβοώντων ἀπαύστως τὸ μέλισμα·
εὐλογητὸς ὁ Θεός,
ὁ τῶν Πατέρων ἡμῶν.

**Κανὼν τοῦ ἁγίου Πρῶτος.**
**Εἱρμὸς ὁ αὐτός.**

Ἐπαίδευσας ἄριστα,
ταῖς ὑποθήκαις νέων τὸν σύλλογον,
ἐπιλέξαι τὸν γάμον,
ἢ μοναστῶν προτιμῆσαι δίαυλον,
διὸ καὶ σὺν σοὶ ἐκραύγαζον ψάλλοντες·
εὐλογητὸς ὁ Θεός,
ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπήνεγκας ὅσιε,
καρτερικῶς τὰς νόσους τοῦ σώματος,
ὡς τρυφὴν γὰρ ὀδύνας,
ταύτας ἡγήσω πάτερ Παΐσιε,
διὸ καὶ εἴληφας χάριν τὴν ἄφθονον,

θαυματουργίας σεμνέ,
ποικιλωνύμων παθῶν.

Παθῶν ὤφθης ὅσιε,
τῶν ψυχικῶν ἀνὴρ ὁ ὑπέρτερος,
καὶ τῶν ἀλγηδόνων,
ἀσθενειῶν τῆς σαρκὸς Παΐσιε,
τῇ θεϊκῇ ἐπιπνοίᾳ ἀνώτερος,
σὺ γὰρ Χριστὸν τὸν Θεόν,
πάτερ ἠγάπησας.

Εὐφραίνεται ἔχουσα,
ἡ γυναικεία μάνδρα Παΐσιε,
Σουρωτὴ τὸν σὸν τάφον,
ὡς θησαυρὸν δωρεῶν τοῦ Πνεύματος,
καὶ ἀνακράζει ἀεὶ τῷ Παντάνακτι·
εὐλογητὸς ὁ Θεός,
ὁ τῶν Πατέρων ἡμῶν.

**Θεοτοκίον.**
Ῥοαῖς τῶν θαυμάτων σου,
τῶν γηγενῶν αἱ τάξεις Πανάμωμε,
ἐκ τῆς πλάνης βελίαρ,
καὶ ἐπηρείας παθῶν καὶ θλίψεων,
καὶ ἐκ ποικίλων τοῦ βίου συμπτώσεων,
καὶ νοσημάτων σαρκός,
ἐλευθεροῦται ἁγνή.

**Κανὼν δεύτερος τοῦ ἁγίου.**
**Εἱρμός· Οἱ ἐκ τῆς Ἰουδαίας.**
Ὑπήκοος Κυρίου,
τῆς νηστείας ἐργάτης,
καὶ προσευχῆς ἐραστής,
διδάσκαλος τῶν νέων,
νοσούντων καὶ καμνόντων,
ἰατρὸς ἀκριβέστατος,
ἐν τοῖς ἐσχάτοις καιροῖς,
Παΐσιε ἐφάνης.

Σωφρόνως καὶ δικαίως,
τὸν σὸν βίον ἐν Ἄθῳ,
καὶ ἄλλοις μέρεσιν,
διῆλθες θεοφόρε,
καὶ εἴληφας πλουσίως,
διοράσεως χάρισμα,
καθοδηγῶν τοὺς πιστούς,
ἐν τρίβοις σωτηρίας.

Φωτίζεις τοῖς σοῖς λόγοις,
Παΐσιε τοὺς νέους,
τοὺς ἐν συγχύσεσι,
πεσόντας τοῦ βελίαρ,
δεικνύων τὰ πρακτέα,
τοῦ Σωτῆρος πανεύφημε,
καὶ ἑρμηνεύων αὐτοῖς,
τὸ θέλημα Κυρίου.

**Θεοτοκίον.**
Ἰδεῖν ταῖς σαῖς πρεσβείαις,
τὴν μορφὴν τοῦ Υἱοῦ σου,
πάντας ἀξίωσον,
τοὺς σὲ τιμῶντας Κόρη,
καὶ προσκυνοῦντας πόθῳ,
τὴν ἁγίαν εἰκόνα σου,
σὺ γὰρ ὑπάρχεις ἡμῶν,
ἡ θεία προστασία.

**Ὠδὴ η΄. Τῆς Θεοτόκου.**
**Ἑπταπλασίως Κάμινον.**
Αἰχμαλωσίας Δέσποινα,
τοῦ δεινοῦ πολεμήτορος,
τὸ γένος ἀνθρώπων,
τῷ σῷ τόκῳ ἤνωσας·
ὁ πάντων γὰρ Κύριος,
ἐκ τῶν ἁγνῶν αἱμάτων τῶν σῶν,
φύσιν τῶν βροτῶν,
ὑπερβολῇ εὐσπλαγχνίας,
προσέλαβεν ἀσπόρως,
καὶ ἤγαγε πρὸς ὕψος,

Ἀδὰμ τὸν πλανηθέντα,
τῷ ψεύδει τοῦ βελίαρ.

Σωτηρίας τὸν δίαυλον,
ἡ κυήσασα Δέσποινα,
ὁδὸν εἰς εὐθεῖαν,
κἀμὲ καθοδήγησον,
καὶ ἴθυνον δέομαι,
τὴν τρίβον Ἀειπάρθενε,
τῆς ἐμῆς ψυχῆς,
πρὸς μετανοίας τὸν τόπον,
πρὸς σὲ γὰρ ἀνατείνω,
ἱκετικῶς τὰς χεῖρας,
σωθῆναι ἐκ τοῦ ζόφου,
γεέννης τῆς ἀστέκτου.

Ὁλοκαρδίως Πάναγνε,
ἀνυμνοῦμεν τὴν χάριν σου,
καὶ αἰτοῦμεν ἅμα,
τῆς ψυχῆς τὰ πρόσφορα,
μετάνοιαν μόνιμον,
κατεσταλμένον φρόνημα,
παῦσιν τῶν παθῶν,
καὶ ἐγκρατείας τὸ δῶρον,
εὐθύτητα ἐν βίῳ,
ψυχικὴν ἀτυφίαν,
λαμπρότητα καρδίας,
καὶ τὴν εὐχὴν Παρθένε.

Νικητικῶς συνέτριψε,
τὴν ὀφρὺν τοῦ ἀλάστορος,
κρύψας ὁ Υἱός σου,
ἐν σαρκὶ τὴν θεότητα,
καὶ πέπαυται Δέσποινα,
τῆς ἀρᾶς ἡ ἐνέργεια,
φύσιν γὰρ λαβών,
τὴν τῶν βροτῶν ὑπὲρ φύσιν,
ἐκ σοῦ Θεογεννῆτορ,
ὁ τῶν πάντων Δεσπότης,
δι' ἄκραν εὐσπλαγχνίαν,
διέσωσε τὸ γένος.

**Κανὼν πρῶτος τοῦ Ἁγίου.**
**Εἱρμὸς ὁ αὐτός.**

Ἡδέως πάτερ ὅσιε,
τῶν πιστῶν τὰ ἀθροίσματα,
ἐν Ἁγίῳ Ὄρει,
ἐπὶ σὲ προσέτρεχον,
λαβεῖν ὁσιώτατε,
τὴν σὴν χάριν καὶ δύναμιν,
σὺ γὰρ ἐκ Θεοῦ,
πολλὰ χαρίσματα ἔσχες,
καὶ ἐν τοῖς χρόνοις τούτοις,
στηριγμὸς ἀνεδείχθης,
ἀνθρώπων δεομένων,
ἐν βίῳ βακτηρίας.

Μεμαθηκότες ὅσιε,
τοῦ σοῦ βίου τὰ ἄριστα,
ἐν τῷ ὄρει Ἄθῳ,
καὶ ἐν ἄλλοις μέρεσιν,
ὑμνοῦσι τὸν Κύριον,
Ἰησοῦν τὸν φιλάνθρωπον,
ὅτι ὡς ἀστήρ,
ἐν τῷ ἐσχάτῳ αἰῶνι,
ἀνίσχες καὶ τὰ σκότη,
κεκμηκότων ἀνθρώπων,
ἐσκέδασας τοῖς λόγοις,
καὶ ἔργοις σου παμμάκαρ.

Ὡς ἀσκητὴς ὑπόδειγμα,
μοναχοῖς πεφανέρωσαι,
ἐν Ἁγίῳ Ὄρει,
καὶ Σινᾷ πανόλβιε,
παννύχοις σου στάσεσι,
καὶ ταῖς πολλαῖς νηστείαις σου,
σὺ γὰρ πρὸς Χριστόν,
ὑπὲρ ἀνθρώπων τὰς χεῖρας,
ἐγκαρδίως ἐγείρεις,
Παΐσιε θεόφρον,
ἰσότιμε Πατέρων.

**Θεοτοκίον.**

Νενοσηκότες Πάναγνε,
τοῖς πολλοῖς ἀμπλακήμασι,
βίου ταῖς μερίμναις,
καὶ ψυχῆς τοῖς πάθεσι,
πρὸς σὲ τὴν ἀμόλυντον,
καὶ ἀδιάφθορον Δέσποιναν,
ὕμνοις ταπεινοῖς,
καθικετεύομεν πάντες,
ταῖς σαῖς λιταῖς μὴ παύσῃ,
ἐκ τοῦ λάκκου πταισμάτων,
ἡμᾶς ἀναβιβάζων,
τοὺς σὲ ὑμνολογοῦντας.

**Κανὼν δεύτερος τοῦ ἁγίου.**
**Εἱρμός· Τὸν Βασιλέα.**

Λειμὼν ἐδείχθη,
πνευματικῶν χαρισμάτων,
καὶ ἰάσεων ποικίλων νοσημάτων,
ὁ σὸς θεῖος τάφος,
ἐν Σουρωτῇ θεόφρον.

Ὁλοκαρδίως,
τὴν ἐτησίαν σου μνήμην,
εὐφημοῦμεν καὶ τιμῶμεν θεοφόρε,
καὶ αἰτοῦμεν πάτερ,
Παΐσιε σὴν χάριν.

Ὑφέρπει πάτερ,
ὁ πονηρότατος δράκων,
καταπλῆξαι τὴν ταλαίπωρον ψυχήν μου,
ἀλλὰ τῷ σῷ κράτει,
θαρσοῦμαι καὶ ἐλπίζω.

**Θεοτοκίον.**

Σώτειρα ὤφθης,
Ὑπεραγία Παρθένε,
τῶν ἀνθρώπων ὡς γεννήσασα ἀσπόρως,
τοῦ Πατρὸς τὸν Λόγον,
Χριστὸν τὸν Ζωοδότην.

**Ὠδὴ θ΄. Τῆς Θεοτόκου.**
**Εἰρμός· Ἐξέστη ἐπὶ τούτῳ.**
Ἰσχύω ἐναντίον τοῦ πτερνιστοῦ,
τῇ σῇ κλήσει Παρθένε Πανάμωμε,
τῇ ἱερᾷ,
ὅτι τῷ σῷ τόκῳ τὴν κεφαλήν,
τὴν τούτου κατεπάτησας,
σὺν τοῖς δαιμονίοις τοῖς μιαροῖς,
καὶ ἤνεγκας ἀνθρώποις,
συγχώρησιν πταισμάτων,
καὶ τῶν ψυχῶν τὴν ἀπολύτρωσιν.

Ὡράϊσον πρεσβείαις σου ἱεραῖς,
τῆς ψυχῆς μου Παρθένε τὸ ἔσοπτρον,
καὶ ὀφθαλμούς,
ἵνα διαυγέστερον καθορῶ,
Χριστοῦ τὸ θεῖον θέλημα,
καὶ τὰς ζωηφόρους ἐπιταγάς,
αὐτοῦ θεογεννῆτορ,
καὶ παύσω ἁμαρτάνων,
ἐν λογισμοῖς τοῦ πολεμήτορος.

Ἡ ἄῤῥητος μορφή σου ἐν οὐρανοῖς,
τῶν ἀγγέλων εὐφραίνει τὰ τάγματα,
καὶ ἐπὶ γῆς,
πάντα τὰ ἀθροίσματα τῶν πιστῶν,
γλυκαίνει Μῆτερ Πάναγνε,
καὶ πρὸς ἐργασίαν τῶν ἐντολῶν,
κινεῖ τὰς διανοίας,
καὶ ἔμπνευσιν παρέχει,
τοῦ προσκυνεῖν τὸ σὸν εἰκόνισμα.

Λαῶν τῶν Ὀρθοδόξων ἡ χαρμονή,
ἀλλὰ καὶ πάσης τῆς κτίσεως τείχισμα,
καὶ οὐρανῶν,
μέγα ἐγκαλλώπισμα Μαριάμ,
πενήτων ἡ βοήθεια,
καὶ ἀπηλπισμένων ἀπαντοχή,
καμνόντων βακτηρία,
ὑπάρχεις Θεοτόκε,
τῆς Οἰκουμένης τὸ ἀγλάϊσμα.

**Κανὼν πρῶτος τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.**

Ἰλύος τῶν πταισμάτων ἀπαλλαγή,
τῆς ψυχῆς σου τὸ ὄμμα ἐκάθηρας,
καὶ δι' αὐτοῦ,
ἔβλεπες ἀνθρώπων τὰ χαλεπά,
νοσήματα Παΐσιε,
τῆς ψυχῆς καὶ σώματος ὡς ἐστίν,
καὶ ὄντως καθωδήγεις,
πρὸς κρείττονα τοὺς πάντας,
τοὺς προσιόντας σοι μακάριε.

Ὡς πάλαι οἱ Πατέρες οὕτω καὶ σύ,
τὴν ὁδὸν θεαρέστως ἐβάδισας,
τὴν ἀκριβῆ,
τοῦ Χριστοῦ Παΐσιε θαυμαστέ,
καὶ ἴσος πάτερ γέγονας,
Τύχωνος καὶ ἄλλων συνασκητῶν,
ἐν Ἄθῳ ἐπ' ἐσχάτων,
τῶν χρόνων καταλείψας,
τύπον ἀνθρώποις ἁγιότητος.

Ἡμᾶς τοὺς σὲ τιμῶντας χαρμονικῶς,
καὶ ὑμνοῦντας τὴν μνήμην σου ὅσιε,
σεμνοπρεπῶς,
φύλαττε πρεσβείαις σου ἱεραῖς,
ἐκ βλάβης τοῦ ἀλάστορος,
καὶ κακῶν τοῦ βίου ἐπιφορῶν,
καὶ ζάλης τῶν πταισμάτων,
ὡς ἔχων παῤῥησίαν,
ἐν οὐρανοῖς Θεομακάριστε.

**Θεοτοκίον.**

Λυσσώδεις ἐπιθέσεις τοῦ πονηροῦ,
Θεοτόκε Παρθένε ἀπόκρουσον,
κράτει τῷ σῷ,
σὺ γὰρ ἀπεκύησας θαυμαστῶς,
Χριστὸν τὸν ἀφανίσαντα,
τοῦ ἀρχαίου δράκοντος τὴν ὀφρύν,
καὶ θλάσαντος τὴν κάραν,
τὴν τούτου μετὰ κρότου,
ὡς ἀθλητὴς περιφανέστατος.

**Κανὼν δεύτερος τοῦ Ἁγίου.**
**Εἱρμός· Κυρίως Θεοτόκον.**
Ἰδόντες τὴν σὴν χάριν,
καὶ τὰς ἰατρείας,
ἃς καθ' ἑκάστην ποιεῖς ἀξιάγαστε,
τὴν βιοτήν σου ὑμνοῦμεν,
πάτερ Παΐσιε.

Ὡς ῥεῦμα χαρισμάτων,
ὑπὲρ φύσιν ὤφθη,
ἐν Σουρωτῇ ὁ σὸς τάφος Παΐσιε,
νενοσηκόσι κατ' ἄμφω,
δίδων τὴν ἴασιν.

Ἡδέως ἐν Κονίτσῃ,
καὶ ἐν Ἄθῳ πάτερ,
ἐν Σουρωτῇ καὶ ἐν πάσῃ Παΐσιε,
τῇ Ἐκκλησίᾳ τιμῶσι,
τὴν θείαν μνήμην σου.

**Θεοτοκίον.**
Λατρεύω τὸν Υἱόν σου,
Μῆτερ Θεοτόκε,
καὶ προσκυνῶ καὶ γεραίρω ἐν ᾄσμασι,
τοῦ σοῦ προσώπου τὸ κάλλος,
ἀειμακάριστε.

**Ἐξαποστειλάριον.**
**Γυναῖκες ἀκουτίσθητε.**
Τὸν ὅσιον Παΐσιον,
Ἁγίου Ὄρους κλέϊσμα,
τῆς Σουρωτῆς τὸν ἐπόπτην,
καὶ ποδηγέτην τῶν νέων,
τὸν λόγοις τε καὶ πράξεσι,
τοὺς ἐνδεεῖς στηρίξαντα,
τιμήσωμεν ἐν ᾄσμασιν,
ὑμνολογοῦντες ἐνθέως,
τὸν βίον τούτου καὶ ἔργα.

**Θεοτοκίον. Ὅμοιον.**

Παρθένε θεοδόξαστε,
χριστιανῶν τὸ στήριγμα,
ἡ φοβερὰ προστασία,
τῶν ἀδυνάτων ἀνθρώπων,
νοσούντων ἡ ἀνόρθωσις,
καὶ τῶν πασχόντων σθένωσις,
τῆς Οἰκουμένης σκέπασμα,
σεμνοπρεπῶς σὲ ὑμνοῦμεν,
οἱ δοῦλοί σου ὁμοφώνως.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄**
**καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν ἅγιοι.**

Τί σε ὀνομάσωμεν ὅσιε,
τῶν Φαράσων τὸν βλαστόν,
καὶ τῆς Κονίτσης θησαυρόν,
Σουρωτῆς τὸν ὁδηγόν,
καὶ τοῦ Σινᾶ τὸν ἀσκητήν,
τοῦ Ἄθω,
ἐγκαλλώπισμα τὸ μέγιστον,
Ἑλλάδος,
τὸ ὑπόδειγμα πρὸς μίμησιν,
Παΐσιε θεοδόξαστε·
ἡμῶν ὁ κόσμος καὶ καύχημα,
ἱκέτευε,
τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε προσφωνήσω Παΐσιε,
τῆς νεότητος πατέρα,
καὶ λαμπρὸν μυσταγωγόν,
μοναζόντων τὸν ἀλείπτην,
πρὸς τὰ κρείττω θαυμαστόν,
νοσούντων,
ἰατῆρα ἀκριβέστατον,
δαιμόνων,
σκεδαστὴν καὶ πολεμήτορα,
ἐν τοῖς ἐσχάτοις γὰρ ἔτεσιν,
ὡς ἰσοστάσιος πέφηνας,

τῶν πρόπαλαι,
διδασκάλων τῶν ψυχῶν ἡμῶν.

Τί σε νῦν προσείπω Παΐσιε,
τῶν ἀνδρῶν ἐξηρτημένων,
ταῖς οὐσίαις λυτρωτήν,
δηλωτὴν τῶν ἐσομένων,
γεγονότων τοῖς πιστοῖς,
ἀθέων,
παιδευτὴν θαυμασιώτατον,
δειλαίων,
στηριγμὸν καὶ μέγα θάρσημα,
ἀσκητικῶς γὰρ ἐβίωσας,
καὶ ὑπὲρ φύσιν χαρίσματα,
προσέλαβες,
ἀξιάγαστε πατὴρ ἡμῶν.

Πάτερ θεοφόρε Παΐσιε,
ὑπὲρ πάντων τῶν πιστῶν,
τῶν ἀνυμνούντων σε θερμῶς,
μὴ ἐλλείπῃς τὸν Χριστόν,
καθικετεύων θερμουργῶς,
ἐκτήσω,
παῤῥησίαν γὰρ πρὸς Κύριον,
καὶ ἔσχες,
χαρισμάτων πλῆθος ὅσιε,
προῤῥήσεως καὶ ἰάσεως,
τῶν ἀλγουμένων κακώσεσι,
ἐν σώματι,
καὶ ψυχῇ ἀειμακάριστε.

**Δόξα. Ἦχος πλ. δ΄.**
Ὅσιε πάτερ Παΐσιε,
εἰς πᾶσαν τὴν γῆν Ἑλλάδος,
καὶ πανταχοῦ τῆς Οἰκουμένης,
ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου,
ὡς ἄγγελος γὰρ ἔνσαρκος,
ἐκ τοῦ Ἄθωνος,
τὰ ζωοποιὰ διδάγματα τοῦ Εὐαγγελίου,
εἰς πᾶσαν τὴν γῆν διεκήρυξας,

ὡσαύτως δὲ γέγονας,
τῇ βιοτῇ καὶ ἔργοις σου,
μοναστῶν πρότυπον,
κοσμικῶν διδάσκαλος,
νεότητος παιδαγωγός,
Σουρωτῆς ὁ παραστάτης,
καὶ πάντων ὁ φίλος,
ὅθεν καὶ ἡμεῖς ταπεινῶς,
πρὸς σὲ ἅγιε δεόμεθα,
μὴ ἐλλείπῃς πρεσβεύων τῷ Κυρίῳ,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**
Τὰ οὐράνια ὑμνεῖ σε,
Κεχαριτωμένη Μήτηρ ἀνύμφευτε,
καὶ ἡμεῖς δοξολογοῦμεν,
τὴν ἀνεξιχνίαστόν σου γέννησιν,
Θεοτόκε πρέσβευε,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.**

# Εἰς τὴν Θείαν Λειτουργίαν

**Τὰ τυπικά.**
**Οἱ Μακαρισμοί.**
**Καὶ ἐκ τοῦ Κανόνος τοῦ ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς 6ης Δεκεμβρίου**
**(ἁγίου Σάββα)**

**Κοινωνικόν.**
**Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάριον**
Χαίροις τῶν Ὁσίων ὁ κοινωνός,
Ἄθωνος τὸ κλέος,
μοναζόντων ὁ στολισμός,
χαίροις Ἐκκλησίας,
διδάσκαλος ὁ νέος,
Παΐσιε θεόφρον,
ἡμῶν τὸ καύχημα.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ
## ΟΣΙΟΝ ΠΑΪΣΙΟΝ ΤΟΝ ΑΓΙΟΡΕΙΤΗΝ

Ποίημα τοῦ Μητροπολίτου Ἐδέσσης Ἰωήλ

**Εὐλογήσαντος τοῦ ἱερέως, τὸ**
**Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος,**
**καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**
Τὸν Ἀθωνίτην θεοφόρον Πατέρα,
τὸν ἐν τοῖς χρόνοις τοῖς ἐσχάτοις φανέντα,
τὸν ἐκ Φαράσων ἅγιον Παΐσιον,
δεῦτε οἱ ἐν θλίψεσιν,
ἱκετεύσωμεν πάντες,
ὅπως διαφύγωμεν,
ταῖς αὐτοῦ ἱκεσίαις,
τοῦ βίου πάσας τὰς ἐπιφοράς,
οὗτος γὰρ ἔσχε,
χαρίσματα πάμπολλα.

**Δόξα Πατρί. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον**
Οὐ σιωπήσωμέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο,
ἐκ τοσούτων κινδύνων;
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις,
ἀεὶ ἐκ παντοίων δεινῶν.

**Ὁ Ν΄. Καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχὶς**
**«Δέχου πάτερ Παΐσιε, ἡμῶν αἰτήσεις. Ἰωήλ»**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**
Δοχεῖον χαρίτων ἀναδειχθείς,
Παΐσιε πάτερ,
μὴ ἐλλείπῃς ταῖς σαῖς εὐχαῖς,
ἡμῖν παρασχὼν ὡς ἐλεήμων,
τὰ τῆς ψυχῆς καὶ τοῦ σώματος πρόσφορα.

Ἐσχάτως ὡς ἄγγελος τοῦ Χριστοῦ,
ὀφθεὶς τὰς καρδίας,
ἱκετῶν σου τῶν εὐλαβῶν,
ἀνάπαυσον πάτερ καὶ παράσχου,
τὸ ἀγαθὸν τῆς εἰρήνης πρεσβείαις σου.

Χοροὶ μοναζόντων καὶ κοσμικῶν,
πρὸς σὲ ὁμοφώνως,
ἀτενίζουσι τὸν σεμνόν,
αἰτούμενοι πάτερ τὴν σὴν χάριν,
ἵνα τὸ θράσος τοῦ δράκοντος θραύσωσι.

Θεοτοκίον
Ὁ κτίσεως πάσης δημιουργός,
ἐκ σοῦ τῆς Παρθένου,
ἐδανείσθη ὑπερφυῶς,
τὴν σάρκα τὴν σὴν διὸ μὴ παύσῃ,
τοῦτον ἁγνὴ ὑπὲρ πάντων λιτάζουσα.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**
Ὑπανοῖξαί μοι θέλω,
ταῖς σαῖς εὐχαῖς ἅγιε,
πύλην παραδείσου τὴν θείαν,
Χριστὸς ὁ Κύριος,
διὸ πρὸς σὲ τὸν σεμνόν,

ἀντιβολῶ καὶ κραυγάζω,
σπεῦσον βοηθῆσαί με,
πάτερ Παΐσιε.

Πατρικῇ σου φροντίδι,
καὶ ἀρωγῇ σκέπασον,
νέων τὴν παράταξιν πάτερ,
ἐκ τῆς συγχύσεως,
τῶν λογισμῶν τοῦ νοός,
καὶ τῶν παθῶν τυραννίδος,
ὅπως ἂν πορεύωνται,
τρίβον σωτήριον.

Ἀσωτεύσας θεόφρον,
ἐν πονηροῖς πάθεσι,
καὶ ἐκδαπανήσας τὸν πλοῦτον,
τῆς θείας χάριτος,
γυμνὸς περίκειμαι,
καὶ ἱκετεύω λιταῖς σου,
τὴν στολὴν τοῦ Πνεύματος,
ἔνδυσον πάλιν με.

Θεοτοκίον

Τὴν σὴν ἔχω εἰκόνα,
ὡς χαρμονὴν Πάναγνε,
καὶ παραμυθίαν γενναίαν,
ἐν βίῳ πάντοτε,
διὸ καὶ ἵσταμαι,
πρὸ τῆς ἁγίας μορφῆς σου,
καὶ αἰτοῦμαι ἄχραντε,
τὴν σὴν ἀντίληψιν.

**Διάσωσον, Γέρον Παΐσιε ταῖς ἁγίαις λιταῖς σου,**
**τοὺς αἰτοῦντας σεμνοπρεπῶς τὴν σὴν δύναμιν,**
**καὶ δώρησαι τὴν σὴν χάριν ἑκάστῳ.**

**Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε,**
**ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,**
**καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.**

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**
Φαράσων βλαστός,
καὶ Ἄθωνος τὸ κλέϊσμα,
ὑπάρχων σεπτέ,
Παΐσιε πανάρετε,
ψυχῆς τε καὶ τοῦ σώματος,
τὰ ποικίλα νοσήματα ἴασαι,
καὶ τὴν πληθὺν δαιμόνων ἀφ' ἡμῶν,
ἀπέλασον τάχιστα ἰσχύϊ σου.

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**
Ἐπωδύνως τὴν στένωσιν,
φέρω τῆς δειλίας,
καὶ ἐκφοβίσματα,
διὸ πάτερ διασκέδασον,
ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Ῥυπαραῖς καταστάσεσι,
τοῦ Θεοῦ τὴν μνήμην,
μάκαρ ἀπώλεσα,
διὸ δός μοι σὴν βοήθειαν,
ὅπως ἀναστῶ ἐκ τῶν πτωμάτων μου.

Παρεδόθην ταῖς θλίψεσι,
καὶ στενοχωρίαις πολλαῖς Παΐσιε,
διὸ χάρισαι πρεσβείαις,
τὴν ἐντός μου ὅσιε εἰρήνευσιν.

Θεοτοκίον
Ἀπωλείας τὸν αἴτιον,
καὶ τοῦ ψεύδους Μῆτερ μέγαν συνήγορον,
τὸν μισάνθρωπον διάβολον,
καὶ πειράζοντά με ἐξουθένωσον.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**
Ἵνα τῆς ψυχῆς,
τῆς ἐμῆς τὸ ἄχθος ἅγιε,
ταῖς λιταῖς σου ἀπαλείψῃς παντελῶς,
ἱκετεύω σε ἐν πίστει θεοστήρικτε.

Στήριγμα στεῤῥόν,
καὶ ἀσπὶς ἀκαταμάχητος,
κληρικῶν καὶ μοναζόντων ταῖς εὐχαῖς,
ἀναδείχθητι πρὸς Κύριον Παΐσιε.

Ἴσος παλαιῶν,
ἀσκητῶν φανεὶς Παΐσιε,
σοὶ ἐδόθη χαρισμάτων ἡ πληθύς,
διὸ ἴασαι τὰ ἕλκη τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον
Ἔχουσα ἡ γῆ,
σὲ προστάτιδα θεόνυμφε,
προσδοκᾷ τὴν εἰρηναίαν βιότην,
καὶ δεινῶν ἐπισυμβάσεων περάτωσιν.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**
Ἡδύτητα,
τῶν σῶν λόγων ὅσιε,
οἱ συνόντες σοι ἐν ὄρει Ἁγίῳ,
διατηροῦντες πρὸς σὲ ἐκ καρδίας,
καθικετεύουσι Πάτερ Παΐσιε,
ταῖς σαῖς λιταῖς τὰς ἐκτροπάς,

διανοίας αὐτῶν ἐπανόρθωσον.

Μιμνήσκοντες,
τῶν πολλῶν χαρίτων σου,
ἐν πολλῇ πρὸς σὲ ἀγάπῃ βοῶμεν,
ἐξ ἀναγκῶν καὶ παντοίων κινδύνων,
καὶ ψυχικῶν ἀλγηδόνων Παΐσιε,
ἐπισκοπῇ σου κραταιᾷ,
τοὺς ὑμνητάς σου προστάτευσον πάντοτε.

Ὡς ἄγγελος,
ἐκ τοῦ ὄρους Ἄθωνος,
ἐν τῇ μάνδρᾳ Σουρωτῆς καταφθάνεις,
μοναζουσῶν τὸν χορὸν διδαχαῖς σου,
τῆς εὐσεβείας ἀλείπτης γενόμενος,
διὸ καὶ νῦν πάντας ἡμᾶς,
πρὸς τὰ κρείττω ὁδήγησον ὅσιε.

Θεοτοκίον
Νοσούντων,
καὶ τῶν στενόντων Παρθένε,
ἀναδείχθητι ἰάτειρα θεία,
καὶ ἀνιάτων παθῶν ταῖς λιταῖς σου,
θεραπευτὴς τῆς ψυχῆς καὶ τοῦ σώματος,
γενοῦ θεόνυμφε ἁγνή,
τῶν ἀνυμνούντων σε ᾄσμασι δούλων σου.

**Διάσωσον, Γέρον Παΐσιε ταῖς ἁγίαις λιταῖς σου,**
**τοὺς αἰτοῦντας σεμνοπρεπῶς τὴν σὴν δύναμιν,**
**καὶ δώρησαι τὴν σὴν χάριν ἑκάστῳ.**

**Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,**
**ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,**
**ὡς ἔχουσα, μητρικὴν παρρησίαν.**

**Αἴτησις καὶ τὸ Κοντάκιον.**

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τῶν μοναστῶν καὶ μιγάδων διδάσκαλον,
καὶ τῶν ἐν κόσμῳ πιστῶν ἀντιλήπτορα,
καὶ ἀσθενούντων ὀξέως ἀκέστορα,
σὲ θεοφόρε Παΐσιε ἔχομεν,
διὸ καὶ ζητοῦμεν τὴν χάριν σου.

**Καὶ εὐθὺς τὸ Προκείμενον. Ἦχος δ΄.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.**

**Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (**στ΄ 17 - 23**).**

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν
αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ
Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι
αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, [18] καὶ οἱ ὀχλούμενοι ἀπὸ
πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· [19] καὶ πᾶς ὁ ὄχλος ἐζήτει
ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. [20]
Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ
ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. [21]
μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες
νῦν, ὅτι γελάσετε. [22] μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι,
καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν
ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. [23] Χαίρετε ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

**Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

**Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.**

Ὅσιε Παΐσιε,
τοῦ Ὄρους Ἄθωνος κλέος,
Σουρωτῆς τὸ καύχημα,
καὶ Φαράσων γόνος ὁ εὐσυμπάθητος,
ἀληθῶς γέγονας,
ἐν ἐσχάτοις χρόνοις,
διὰ τοῦτο καὶ βοῶμέν σοι,
πάσης στενώσεως,
καὶ τῶν ἀδοκήτων συμβάσεων,
τῆς λύμης τῶν αἱρέσεων,
καὶ ἐπηρειῶν τοῦ ἀλάστορος,
ἀνιάτων νόσων,
ἡμᾶς τοὺς σὲ τιμῶντας εὐλαβῶς,
μὴ διαλείπῃς πρεσβείαις σου,
συντηρῶν ἑκάστοτε.

**Ὁ Ἱερεὺς τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου.**

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἀλγηνῶν νοσημάτων,
καὶ δαιμόνων μανίας,
καὶ περιστάσεων,
τοῦ βίου πολυτρόπων,
καὶ πάσης κακουργίας,
θεοφόρε Παΐσιε,
τῶν κακοτρόπων ἡμᾶς,
ἐκλύτρωσαι λιταῖς σου.

Ἰατρείας σωμάτων,
καὶ ψυχῆς θεραπείας,
ὤφθης Παΐσιε,
θεράπων ταῖς εὐχαῖς σου,

διὸ τοῖς ἐθισμένοις,
ἰοφόροις σκευάσμασι,
μὴ διαλείπῃς ἀεί,
παρέχων τὴν ὑγείαν.

Τὴν νεότητα πᾶσαν,
ἐκ τοῦ λάκκου ἀγνοίας,
καὶ ἀθεότητος,
καὶ πάσης ἀναρχίας,
Παΐσιε παμμάκαρ,
ταῖς λιταῖς σου ἐξάγαγε,
σὺ γὰρ ἐκτήσω σεμνέ,
μεγίστην παῤῥησίαν.

Θεοτοκίον
Ἡδυμόλπως Παρθένε,
φοβερὰ προστασία,
ἀκαταμάχητε,
ὑμνῶ σου τὴν εἰκόνα,
τὴν ὄντως θεσπεσίαν,
ἣν ἐπ' ὤμων ἐκράτησε,
Παΐσιος ὁ σεμνός,
ὁ δοῦλός σου Μαρία.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**
Στήριξον πάτερ,
ἱκετηρίαις πολλαῖς σου,
τοὺς ἐν πάθεσι πληγέντας ἀνιάτοις,
ἐκ τῆς λευχαιμίας,
καὶ τοῦ πικροῦ καρκίνου.

Ἑσμὸν δειλίας,
καὶ τῆς φοβίας σῇ ῥώμῃ,
ἀπομάκρυνον ἐκ τῶν ἱκετευόντων,

σὲ σημειοφόρε,
Παΐσιε θεόφρον.

Ἰῷ πορνείας,
καὶ ἁμαρτάδων ἀθέσμων,
τῆς νεότητος τὰ πλήθη παραπαίει,
ὅθεν χεῖρα τούτοις,
παράσχου θεοφόρε.

Θεοτοκίον
Σεσαρκωμένος,
ἐκ τῆς ἁγίας γαστρός σου,
ὁ φιλάνθρωπος Δεσπότης καὶ Υἱός σου,
Δέσποινα ἐξῆλθε,
τοῦ σῶσαι τοὺς ἀνθρώπους.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**
Ἰδοὺ ἐν εὐλαβείᾳ,
τείνοντες τὰς χεῖρας,
καθικετεύομεν πάντες Παΐσιε,
μὴ διαλείπῃς φροντίζων ἡμᾶς ἑκάστοτε.

Ὡσεὶ τροφὸς καὶ μήτηρ,
τοὺς σὲ ἀνυμνοῦντας,
ἐν ταῖς ἀνάγκαις τοῦ βίου Παΐσιε,
ἀεὶ παράσχου θεόφρον αὐτοῖς τὰ χρήσιμα.

Ἡ Σουρωτὴ καὶ Ἄθως,
καὶ πᾶσα Ἐκκλησία,
ἐπικαλεῖταί σε πάτερ Παΐσιε,
ὅπως σωφρόνως τὴν τρίβον Χριστοῦ βαδίσωμεν.

Θεοτοκίον
Λοιμοῦ λιμοῦ καὶ ἄλλων,
δεινῶν ἐν τῇ Ἑλλάδι,

ταῖς σαῖς πρεσβείαις ἐλπίζομεν τάχιστα,
ἀπαλλαγῆναι ταχέως σεπτὲ Παΐσιε.

**Τὸ Ἄξιόν ἐστι καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις τῶν Φαράσων θεῖος βλαστός,
Ἄθωνος τοῦ Ὄρους περιάκουστος ἀσκητής,
χαίροις τῆς Ἑλλάδος ὁ φωτιστὴς ὁ νέος,
Παΐσιε τῶν νέων μέγιστε σύμμαχε.

Χαίροις ὁ διδάσκαλος Σουρωτῆς,
τοῦ Σιναίου ὄρους ὁ σεμνότατος ἀσκητής,
χαίροις ἐν Κονίτσῃ τῶν συμπατριωτῶν σου,
κατοίκων ὄντως τύπος πάτερ πρὸς μίμησιν.

Ἄνδρας καὶ γυναῖκας ναρκομανεῖς,
καὶ πληθὺν ἀνθρώπων,
δαιμονώντων ταῖς σαῖς λιταῖς,
καὶ τοὺς ἀσθενοῦντας,
πολυειδῶς θεόφρον,
Παΐσιε μὴ παύσῃ,
σώζων ἑκάστοτε.

Μοναζόντων ὅσιε τὸν χορόν,
ταῖς ἱκετηρίαις,
πρὸς Δεσπότην διηνεκῶς,
ὅσιε βοήθει,
ὡς παῤῥησίαν ἔχων,
Παΐσιε μεγίστην,
θεομακάριστε.

Ἔχοντες ὡς μέγιστον θησαυρόν,
τὸν σὸν τάφον πάτερ,
ἀρυόμεθα οἱ πιστοί,
δύναμιν καὶ θάρσος,

ἐν τοῖς δεινοῖς τοῦ βίου,
Παΐσιε παμμάκαρ,
ἄνερ τῆς χάριτος.

Πάτερ ὁσιώτατε τοὺς βροτούς,
τοὺς ὑμνολογοῦντας,
πολιτείαν σου τὴν σεπτήν,
τῇ ἐπισκοπῇ σου,
προστάτευσον ἐκ βλάβης,
βελίαρ τοῦ ἀρχαίου,
τοῦ πολεμήτορος.

**Πᾶσαι τῶν ἀγγέλων...**

**Τρισάγιον. Εἶτα ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ παρὸν Προσόμοιον.**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**
Πάθη τὰ δυσώδη τῆς ψυχῆς,
καὶ τὰ ἀνομήματα πάντα,
τὰς ἀῤῥωστίας σαρκός,
καὶ τὰ ἐνεργήματα,
πολυειδῶν φοβιῶν,
τῆς δειλίας τὴν βάσανον,
καὶ πάσης ἀνάγκης,
ἄγχος καὶ δυνάστευσιν,
καὶ τοῦ ἐλθεῖν τὰ κακά,
ὅσιε Παΐσιε σπεῦσον,
ταῖς πρὸς τὸν Χριστὸν ἱκεσίαις,
παῦσαι ἀπὸ πάντων τῶν ὑμνούντων σε.

**Δέσποινα πρόσδεξαι...**
**Τὴν πᾶσαν ἐλπίδα μου...**

**Ὁ ἱερεύς, Δι' εὐχῶν...**